Was ist ἀρετή? (Platon, *Menon 77b2–78b2*)

ΜΕΝΩΝ. Δοκεῖ τοίνυν μοι, ὦ Σώκρατες, ἀρετὴ εἶναι, καθάπερ ὁ ποιητὴς λέγει, “χαίρειν τε καλοῖσι καὶ δύνασθαι[1]·” καὶ ἐγὼ τοῦτο λέγω ἀρετήν, ἐπιθυμοῦντα τῶν καλῶν δυνατὸν εἶναι πορίζεσθαι.

ΣΩΚΡΑΤΗΣ. Ἆρα λέγεις τὸν τῶν καλῶν ἐπιθυμοῦντα ἀγαθῶν ἐπιθυμητὴν εἶναι; ΜΕΝ. Μάλιστά γε. – ΣΩ. Ἆρα[2] ὡς ὄντων τινῶν οἳ τῶν κακῶν ἐπιθυμοῦσιν, ἑτέρων δὲ οἳ τῶν ἀγαθῶν; οὐ πάντες, ὤριστε, δοκοῦσί σοι τῶν ἀγαθῶν ἐπιθυμεῖν; – ΜΕΝ. Οὐκ ἔμοιγε. – ΣΩ. Ἀλλά τινες τῶν κακῶν; – ΜΕΝ. Ναί. – ΣΩ. Οἰόμενοι τὰ κακὰ ἀγαθὰ εἶναι, λέγεις, ἢ καὶ γιγνώσκοντες ὅτι κακά ἐστιν ὅμως ἐπιθυμοῦσιν αὐτῶν; – ΜΕΝ. Ἀμφότερα ἔμοιγε δοκοῦσιν. – ΣΩ. Ἦ γὰρ δοκεῖ τίς σοι, ὦ Μένων, γιγνώσκων τὰ κακὰ ὅτι κακά ἐστιν ὅμως ἐπιθυμεῖν αὐτῶν; – ΜΕΝ. Μάλιστα. – ΣΩ. Τί ἐπιθυμεῖν λέγεις; ἦ γενέσθαι αὐτῷ[3]; – ΜΕΝ. Γενέσθαι· τί γὰρ ἄλλο; – ΣΩ. Πότερον ἡγούμενος τὰ κακὰ ὠφελεῖν ἐκεῖνον, ᾧ ἂν γένηται, ἢ γιγνώσκων τὰ κακὰ ὅτι βλάπτει, ᾧ ἂν παρῇ; – ΜΕΝ. Εἰσὶ μὲν οἳ ἡγούμενοι τὰ κακὰ ὠφελεῖν, εἰσὶν δὲ καὶ οἳ γιγνώσκοντες ὅτι βλάπτει. – ΣΩ. Ἦ καὶ δοκοῦσί σοι γιγνώσκειν τὰ κακὰ ὅτι κακά ἐστιν οἱ ἡγούμενοι τὰ κακὰ ὠφελεῖν; – ΜΕΝ. Οὐ πάνυ μοι δοκεῖ τοῦτό γε. – ΣΩ. Οὐκοῦν δῆλον ὅτι οὗτοι μὲν οὐ τῶν κακῶν ἐπιθυμοῦσιν, οἱ ἀγνοοῦντες αὐτά, ἀλλὰ ἐκείνων, ἃ ᾤοντο ἀγαθὰ εἶναι, ἔστιν δὲ ταῦτά γε κακά[4]· ὥστε οἱ ἀγνοοῦντες αὐτὰ καὶ οἰόμενοι ἀγαθὰ εἶναι δῆλον ὅτι τῶν ἀγαθῶν ἐπιθυμοῦσιν. ἢ οὔ; – ΜΕΝ. Κινδυνεύουσιν οὗτοί γε. – ΣΩ. Τί δέ; οἱ τῶν κακῶν μὲν ἐπιθυμοῦντες, ὡς φῄς σύ, ἡγούμενοι δὲ τὰ κακὰ βλάπτειν ἐκεῖνον ᾧ ἂν γίγνηται, γιγνώσκουσιν δήπου ὅτι βλαβήσονται ὑπ' αὐτῶν; – ΜΕΝ. Ἀνάγκη. –

1. Soviel wie δυνατὸν εἶναι πορίζεσθαι (vgl. Z. 3) – Erg. καλά (aus καλοῖς).
2. Erg. τοῦτο λέγεις.
3. Gemeint ist: τοῦτο, οὗ ἐπιθυμεῖ, γενέσθαι αὐτῷ.
4. ἔστι δὲ … κακά] Selbständiger Satz anstelle eines zweiten Relativsatzes (nicht selten!).

ΣΩ. Ἀλλὰ τοὺς βλαπτομένους οὗτοι οὐκ οἴονται ἀθλίους εἶναι καθ' ὅσον βλάπτονται; – ΜΕΝ. Καὶ τοῦτο ἀνάγκη. – ΣΩ. Τοὺς δὲ ἀθλίους οὐ κακοδαίμονας; – ΜΕΝ. Οἶμαι ἔγωγε. – ΣΩ. Ἔστιν οὖν ὅστις βούλεται ἄθλιος καὶ κακοδαίμων εἶναι; – ΜΕΝ. Οὔ μοι δοκεῖ, ὦ Σώκρατες. – ΣΩ. Οὐκ ἄρα βούλεται, ὦ Μένων, τὰ κακὰ οὐδείς, εἴπερ μὴ βούλεται τοιοῦτος[1] εἶναι. τί γὰρ ἄλλο ἐστὶν ἄθλιον εἶναι ἢ ἐπιθυμεῖν τε τῶν κακῶν καὶ κτᾶσθαι; – ΜΕΝ. Κινδυνεύεις ἀληθῆ λέγειν, ὦ Σώκρατες· καὶ οὐδεὶς βούλεσθαι[2] τὰ κακά.

1. Sc. ἄθλιος καὶ κακοδαίμων.

2. Abhängig von zu erg. κινδυνεύει.